πατρός μου καὶ κατ᾽ ὀφθαλμοὺς τῶν ἑστηκότων καὶ γραφόντων ἐν
τῷ βιβλίῳ τῆς κτήσεως καὶ κατ᾽ ὀφθαλμοὺς τῶν Ιουδαίων τῶν ἐν
13 τῇ αὐλῇ τῆς φυλακῆς. [13]καὶ συνέταξα τῷ Βαρουχ κατ᾽ ὀφθαλμοὺς
14 αὐτῶν λέγων [14]Οὕτως εἶπεν κύριος παντοκράτωρ Λαβὲ τὸ βιβλίον
τῆς κτήσεως τοῦτο καὶ τὸ βιβλίον τὸ ἀνεγνωσμένον καὶ θήσεις
15 αὐτὸ εἰς ἀγγεῖον ὀστράκινον, ἵνα διαμείνῃ ἡμέρας πλείους. [15]ὅτι
οὕτως εἶπεν κύριος Ἔτι κτηθήσονται ἀγροὶ καὶ οἰκίαι καὶ ἀμπε-
λῶνες ἐν τῇ γῇ ταύτῃ.
16 [16]Καὶ προσευξάμην πρὸς κύριον μετὰ τὸ δοῦναί με τὸ βιβλίον
17 τῆς κτήσεως πρὸς Βαρουχ υἱὸν Νηριου λέγων [17]Ὦ κύριε, σὺ ἐποί-
ησας τὸν οὐρανὸν καὶ τὴν γῆν τῇ ἰσχύι σου τῇ μεγάλῃ καὶ τῷ
βραχίονί σου τῷ ὑψηλῷ καὶ τῷ μετεώρῳ, οὐ μὴ ἀποκρυβῇ ἀπὸ
18 σοῦ οὐθέν, [18]ποιῶν ἔλεος εἰς χιλιάδας καὶ ἀποδιδοὺς ἁμαρτίας
πατέρων εἰς κόλπους τέκνων αὐτῶν μετ᾽ αὐτούς, ὁ θεὸς ὁ μέγας
19 καὶ ἰσχυρός, [19]κύριος μεγάλης βουλῆς καὶ δυνατὸς τοῖς ἔργοις, ὁ
θεὸς ὁ μέγας ὁ παντοκράτωρ καὶ μεγαλώνυμος κύριος· οἱ ὀφθαλ-
μοί σου εἰς τὰς ὁδοὺς τῶν υἱῶν τῶν ἀνθρώπων δοῦναι ἑκάστῳ
20 κατὰ τὴν ὁδὸν αὐτοῦ· [20]ὃς ἐποίησας σημεῖα καὶ τέρατα ἐν γῇ
Αἰγύπτῳ ἕως τῆς ἡμέρας ταύτης καὶ ἐν Ισραηλ καὶ ἐν τοῖς γηγε-
21 νέσιν καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη [21]καὶ ἐξήγαγες
τὸν λαόν σου Ισραηλ ἐκ γῆς Αἰγύπτου ἐν σημείοις καὶ ἐν τέρασιν
καὶ ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν ὁράμασιν μεγά-
22 λοις [22]καὶ ἔδωκας αὐτοῖς τὴν γῆν ταύτην, ἣν ὤμοσας τοῖς πατρά-
23 σιν αὐτῶν, γῆν ῥέουσαν γάλα καὶ μέλι· [23]καὶ εἰσήλθοσαν καὶ ἐλά-
βοσαν αὐτὴν καὶ οὐκ ἤκουσαν τῆς φωνῆς σου καὶ ἐν τοῖς προσ-
τάγμασίν σου οὐκ ἐπορεύθησαν· ἅπαντα, ἃ ἐνετείλω αὐτοῖς, οὐκ
ἐποίησαν· καὶ ἐποίησας συμβῆναι αὐτοῖς πάντα τὰ κακὰ ταῦτα.
24 [24]ἰδοὺ ὄχλος ἥκει εἰς τὴν πόλιν ταύτην συλλαβεῖν αὐτήν, καὶ ἡ
πόλις ἐδόθη εἰς χεῖρας Χαλδαίων τῶν πολεμούντων αὐτὴν ἀπὸ
προσώπου μαχαίρας καὶ τοῦ λιμοῦ· ὡς ἐλάλησας, οὕτως ἐγένετο.
25 [25]καὶ σὺ λέγεις πρός με Κτῆσαι σεαυτῷ ἀγρὸν ἀργυρίου· καὶ

**12** και κατ $1^0$] και > S* | εστηκ.] ανδρων των παρεστηκοτων B† | των ιουδαιων] + παντων A†, pr. παντων Q*L* | των ult.] + καθημενων A pl. || **14** τουτο] + το εσφραγισμενον *L* | αυτο > SA | διαμενη B || **15** κτισθησονται B* S* || **16** με > S† || **17** ω Ra.] ο ων mss.: cf. 1 6 | κυριε (cf. 14 13)] + κυριε A pl.: cf. 𝔐 | τη $1^0$] pr. εν A† | και τω μετεωρω > S = 𝔐 || **18** και ult.] ο B†, + ο Q || **19** δυνατος] pr. ο A | ο θεος ο μεγ. ο] κυριος S† | και $2^0$] ο S | κυριος ult.] > S*†, κυριε S^c | των υιων > SA† | δουναι] pr. απο A† | fin. τας οδους αυτων S† || **20** ος] οσα A† || **21** εν τερασιν και] εν > A, και > BS† || **23** ελαβον B | και εποιησας pau.] κ. -σαν pl., > B*S*† || **24** init.] pr. και A† | ταυτην > BS pau. | χειρας] pr. τας S† || **25** αγρον] pr. τον B